A ὅπως γὰρ αὕτη προστάξει, οὕτως αἱ ἀρεταὶ καὶ οἱ κατ' αὐτὰς πράττουσιν. ἐπεὶ οὖν αἱ ἀρεταὶ πρακτικαὶ, καὶ ἡ φρόνησις πρακτικὴ ἂν εἴη. πότερον δὲ αὕτη πάντων ἄρχει τῶν ἐν τῇ ψυχῇ, ὥσπερ δοκεῖ καὶ ἀπορεῖται, ἢ οὔ; τῶν γὰρ βελτιόνων οὐκ ἂν δόξειεν, οἷον, τῆς σοφίας οὐκ ἄρχει· ἀλλὰ, φασὶν, αὕτη ἐπιμελεῖται πάντων, καὶ κυρία ἐστὶ προστάττουσα. ἀλλ' ἴσως ἔχει ὥσπερ ἐν οἰκίᾳ ὁ ἐπίτροπος, ἐστὶ γὰρ πάντων κύριος, καὶ πάντα διοικεῖ· ἀλλ' οὔπω ἐστὶ B ἄρχει πάντων, ἀλλὰ παρασκευάζει τῷ δεσπότῃ σχολὴν, ὅπως ἂν ἐκεῖνος μὴ κωλυόμενος ὑπὸ τῶν ἀναγκαίων, ἐκκλείηται τοῦ τῶν καλῶν τι καὶ προσηκόντων πράττειν. οὕτω καὶ ὁμοίως τούτῳ ἡ φρόνησις, ὥσπερ ἐπίτροπός τίς ἐστι τῆς σοφίας, καὶ παρασκευάζει ταύτῃ σχολὴν, καὶ τὸ ποιεῖν τὸ αὐτῆς ἔργον, κατέχουσα τὰ πάθη, καὶ ταῦτα σωφρονίζουσα.

A quandoquidem vt ipsa præscripserit, ita virtutes, & qui ex virtutibus, agunt. Cùm igitur virtutes sub actionem cadãt, etiam sub actionem cadet prudentia. Vtrum omnibus quæ in anima, hæc imperat, vt censetur, paritérque ambigitur, an secus? Melioribus certè, vt sapientia est, imperare videri par non est: sed ea, vt dici solet, cuncta procurat, præscribénsque domina est. Cæterùm forsitan, vt in ædibus habet atriensis: is nanque præest omnibus, dispen- B sátque omnia, sed nondum idem imperat omnibus. Verùm domino otium parat, ne is præpeditus rerum domesticarum necessitate, dissoluatur, quo minus honesti quippiam, & officiosi agat. Ita atque similiter prudentia, tanquam sapientiæ quidam atriensis, ei otium parat, vt suum peragat opus, affectus cohibendo, eósque temperando.

C

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ

## ἠθικῶν Μεγάλων

## τὸ Β.

### Κεφάλαιον α.

Μετὰ δὲ ταῦτα ὑπὲρ ἐπιεικείας δέοι ἂν τὴν ἐπίσκεψιν ποιήσασθαι, τί τέ ἐστι, καὶ ἐν τίσι, καὶ περὶ ποῖα. ἔστι δὴ ἡ ἐπιείκεια, καὶ ὁ ἐπιεικὴς, ὁ ἐλαττω- D τικὸς τῶν δικαίων τῶν κατὰ νόμον. ἃ γὰρ ὁ νομοθέτης ἐξαδυνατεῖ καθ' ἕκαστα ἀκριβῶς διορίζειν, ἀλλὰ καθόλου λέγει, ὁ ἐν τούτοις παραχωρῶν, καὶ ταῦθ' αἱρούμενος ἃ ὁ νομοθέτης ἐβούλετο μὲν καὶ καθ' ἕκαστα διορίσαι, οὐκ ἠδυνήθη δὲ, ὁ τοιοῦτος ἐπιεικής. οὐκ ἔστι δὲ ἐλαττωτικὸς τῶν δικαίων ἁπλῶς. τῶν μὲν γὰρ φύσει, καὶ ὡς ἀληθῶς ὄντων δικαίων, E οὐκ ἐλαττοῦται, ἀλλὰ τῶν κατὰ νόμον, ἃ ὁ νομοθέτης ἐξαδυνατῶν ἀπέλιπεν.

# ARISTOTELIS

## magnorum moralium

## LIBER SECVNDVS.

### CAPVT I.

Post ea, quæ tradidimus, par videtur vt de æquitate disseramus, quidque sit, & in quibus, & circa qualia. Æquitas autem, hoD móque æquus, is est, qui de suo iure cedit, quod ei legibus competit. Nam qui in iis quæ legislator particulatim examinatè & ad vnguem definire non potest, (in vniuersum enim loquitur) suo iure cedit, ídque sequitur quod voluisset quidem legislator etiam particulatim definire, sed non potuit: is est homo æquus. Porrò autẽ non omni iure cedit is simpliciter. quan- E doquidem quæ natura, ac verè iusta sunt, non diminuit, sed ea duntaxat, quæ legislator deseruit, cùm explere non posset.

### Κεφάλαιον β.

Ἡ δὲ εὐγνωμοσύνη καὶ ὁ εὐγνώμων ἐστὶ περὶ ταὐτὰ, περὶ ἃ καὶ ἡ ἐπιείκεια· περὶ τὰ δίκαια, καὶ τὰ ἐλλελειμμένα ὑπὸ τοῦ νομοθέτου, τῷ μὴ ἀκριβῶς διωρίσθαι, κριτικὸς ὢν τῶν ἐλλελειμμένων ὑπὸ τοῦ νομοθέτου, καὶ γινώσκων ὅτι ὑπὸ μὲν τοῦ νομοθέτου ἐλλέλειπται, F ἔστι μέντοι δίκαια, ὁ τοιοῦτος εὐγνώμων. ἔστι μὲν οὖν οὐκ ἄνευ ἐπιεικείας ἡ εὐγνωμοσύνη. τὸ μὲν γὰρ κρῖναι, τοῦ εὐγνώμονος· τὸ δὲ δὴ πράττειν κατὰ τὴν κρίσιν, τοῦ ἐπιεικοῦς.

### CAPVT II.

Modestia, ac modestus, siue æqui & boni intelligens, est circa quæ & æquitas, nempe circa iusta, quæ omissa à legislatore, non satis ad vnguem definita sunt, vt iudex inueniatur eorum, quæ le- F gislator omittit, certóque cognoscit à legislatore prætermissa, quæ iusta sunt, is modestus est. Itaque non citra æquitatem modestia. Iudicare siquidem, modesti: agere verò, ad iudiciúmque perducere, æqui fuerit.